22. *Πυθόμενος δ' ἐγκαλεῖν αὐτῷ τὸν Ἀλέξανδρον ὅτι παῖδας ἐκ πλειόνων ποιεῖται γυναικῶν, 'οὐκοῦν' ἔφη 'πολλοὺς ἔχων περὶ τῆς βασιλείας ἀνταγωνιστὰς γενοῦ καλὸς κἀγαθός, ἵνα μὴ δι' ἐμὲ τῆς βασιλείας τύχῃς ἀλλὰ διὰ σεαυτόν.'*

23. *Ἐκέλευε δ' αὐτὸν Ἀριστοτέλει προσέχειν καὶ φιλοσοφεῖν, 'ὅπως' ἔφη 'μὴ πολλὰ τοιαῦτα πράξῃς, ἐφ' οἷς*
F *ἐγὼ πεπραγμένοις μεταμέλομαι.'*

24. *Τῶν δ' Ἀντιπάτρου φίλων τινὰ κατατάξας εἰς τοὺς δικαστάς, εἶτα τὸν πώγωνα βαπτόμενον αἰσθόμενος καὶ τὴν κεφαλήν, ἀνέστησεν εἰπὼν τὸν ἄπιστον ἐν θριξὶ μὴ νομίζειν ἀξιόπιστον ἐν πράγμασι.*

25. *Μαχαίτᾳ δέ τινι κρίνων δίκην καὶ ὑπονυστάζων οὐ πάνυ προσεῖχε τοῖς δικαίοις ἀλλὰ κατέκρινεν· ἐκείνου δ' ἀναβοήσαντος ἐκκαλεῖσθαι τὴν κρίσιν διοργισθείς 'ἐπὶ*
179 *τίνα;' εἶπε· καὶ ὁ Μαχαίτας 'ἐπὶ σέ, βασιλεῦ, αὐτόν,* | *ἂν ἐγρηγορὼς καὶ προσέχων ἀκούῃς.' τότε μὲν οὖν ἀνέστη· γενόμενος δὲ μᾶλλον ἐφ' ἑαυτῷ καὶ γνοὺς ἀδικούμενον τὸν Μαχαίταν τὴν μὲν κρίσιν οὐκ ἔλυσε, τὸ δὲ τίμημα τῆς δίκης αὐτὸς ἐξέτισεν.*

26. *Ἐπεὶ δὲ Ἅρπαλος ὑπὲρ συγγενοῦς καὶ οἰκείου Κράτητος ἀδικημάτων δίκην ἔχοντος ἠξίου τὴν ζημίαν εἰσενεγκεῖν ἀφεθῆναι δὲ τῆς κρίσεως, ἵνα μὴ λοιδορηθῇ,*